11. A: τεθρανσμένος. 12. A: ἀνέχεσθαι δυνάμενος. A¹: ὄντα (A²†: ἰσόθεα) φρονεῖν ὑπερήφανα (A²: -νως). 13. A: οὕτως. 15. A¹: (l. οὓς) ὡς ... οἰων. (A²† δὲ) σὺν τοῖς νηπίοις ἐκτρίψαι (A²: ἐκρίψειν). 16. A¹: ἅγ. νεὼ. 17. A¹: Ἰουδαῖος ἔσ. 18. A: ἔχ. ἱκετ. τάξιν (inv. ord.). 19. Ἀντ. καὶ στρατ. (inv. ord.). 20. A: ἐῤῥώσθε. A¹: ἔσται (l. ἐστὶν) ... * εὐχ.-χάριν (A²†). 21. A¹* Κἀγὼ δὲ ἀσθ. διεκ. (A²†) et ἂν. A: ἐπαναγαγὼν ἐκ τῶν κατὰ ... * ὑμῶν.

15. Certains critiques conjecturent que le texte primitif devait porter Ἀνθιοχέσι, au lieu de Ἀθηναίοις, parce qu'on ne s'explique pas facilement comment les Athéniens interviennent dans ce passage. Si on lit : « Antiochiens », il s'agit du droit de cité et des privilèges des citoyens d'Antioche qui avaient été conférés antérieurement aux habitants de Jérusalem, II *Machabées*, IV, 9, et qu'Antiochus aurait accordés maintenant à tous les Juifs.

16. *De multiplier les vases sacrés.* Grec : « de lui rendre ses vases sacrés en plus grand nombre (qu'il n'en avait pris) ».

19. *Prince.* Grec : « général (chef d'armée) ».

20. *Grandes actions de grâces (à Dieu).* Le Grec a en plus : « ayant espoir dans le ciel ».

tur, eum nemo póterat propter intolerántiam fœtóris portáre.

Ficte humiliatus orat. 1 Mach. 1, 12-13.

11 Hinc ígitur cœpit ex gravi supérbia dedúctus ad agnitiónem sui veníre, divína admónitus plaga, per moménta síngula dolóribus suis augménta capiéntibus : 12 et cum nec ipse jam fœtórem suum ferre posset, ita ait : Justum est súbditum esse Deo, et mortálem non pária Deo sentíre. 2 Mach. 7, 37. 1 Mach. 6, 11-13.

13 Orábat autem hic sceléstus Dóminum, a quo non esset misericórdiam consecutúrus. 14 Et civitátem, ad quam festínans veniébat ut eam ad solum dedúceret, ac sepúlchrum congestórum fáceret, nunc optat líberam réddere : 15 et Judæos, quos nec sepultúra quidem se dignos habitúrum, sed ávibus ac feris diripiéndos traditúrum, et cum párvulis exterminatúrum dixerat, æquáles nunc Atheniénsibus factúrum pollicétur : 16 templum étiam sanctum, quod prius expoliáverat, óptimis donis ornatúrum, et sancta vasa multiplicatúrum, et pertinéntes ad sacrifícia sumptus de reddítibus suis præstatúrum : 17 super hæc, et Judæum se futúrum, et omnem locum terræ perambulatúrum, et prædicatúrum Dei potestátem.

Bona Judæis promittit. Prov. I, 24, 23. Hebr. 10, 27 ; 12, 17. 2 Mach. 7, 14, 19. 2 Mach. 4, 9. 2 Mach. 4, 16. 1 Mach. 1, 23-24. 2 Mach. 5, 16. 2 Mach. 3, 3.

Fausta epistola ad Judæos.

18 Sed non cessántibus dolóribus (supervénerat enim in eum justum Dei judícium), despérans scripsit ad Judæos in modum deprecatiónis epístolam hæc continéntem : 19 Optimis cívibus Judæis plúrimam salútem, ut bene valére, et esse felíces, rex et princeps Antíochus. 20 Si bene valétis, et fílii vestri, et ex senténtia vobis cuncta sunt, máximas ágimus grátias. 21 Et ego in infirmitáte constitútus, vestri autem memor benígne, revérsus de Pérsidis locis, et infirmitáte gravi apprehénsus, necessárium duxi pro commúni utilitáte curam habére : 22 non despérans memetípsum, sed spem multam habens effugiéndi infirmitátem. 23 Re-

du ciel, personne ne pouvait le porter, à cause de son infection insupportable.

11 Dès lors donc, il commença, descendu de *ce* grand orgueil, à venir à la connaissance de lui-même, averti par la plaie divine, ses douleurs à chaque moment prenant de l'accroissement. 12 Et comme lui-même ne pouvait plus souffrir son infection, il dit : « Il est juste d'être soumis à Dieu, et qu'un mortel ne se croie pas égal à Dieu ».

13 Or ce criminel priait le Seigneur, de qui il ne devait pas obtenir miséricorde. 14 Et la cité vers laquelle il venait en se hâtant, afin de l'abaisser jusqu'au sol, et d'en faire un sépulcre de *cadavres* amoncelés, il souhaite maintenant de la rendre libre. 15 Et les Juifs dont il avait dit qu'il ne les traiterait pas comme étant dignes de la sépulture, mais qu'il les livrerait aux oiseaux et aux bêtes féroces, pour être déchirés, et qu'il *les* exterminerait avec les plus petits enfants, il promet maintenant de les rendre égaux aux Athéniens ; 16 et le temple saint aussi, qu'il avait auparavant pillé, *il promet* de l'orner de dons précieux, de multiplier les vases sacrés, et de fournir de ses revenus aux dépenses relatives aux sacrifices ; 17 outre cela, de se faire Juif et de parcourir tous les lieux de la terre, pour publier la puissance de Dieu.

18 Mais, les douleurs ne cessant pas (car le juste jugement de Dieu lui était survenu), perdant l'espérance, il écrivit aux Juifs en forme de supplication, une lettre contenant ceci : 19 « Aux excellents citoyens juifs, le roi et prince Antiochus *souhaite* une très longue vie et de bien se porter et d'être heureux. 20 Si vous vous portez bien, *vous* et vos enfants, et si toutes choses vont à votre gré, nous *en* rendrons de grandes actions de grâces *à Dieu*. 21 Et moi, étant retenu par la maladie, mais me souvenant de vous avec bonté, revenu du pays de Perse, et surpris par une maladie grave, j'ai jugé nécessaire de prendre soin des intérêts communs ; 22 ne désespérant pas de moi-même, mais ayant un grand espoir d'échapper à la maladie. 23 Considérant donc que mon père

11. *La plaie divine;* la plaie dont Dieu l'avait frappé.

13. *De qui...*, parce que sa prière était l'effet de l'excès de son mal, mais nullement de la conversion de son cœur.

15. *Les rendre égaux* ou semblables *aux Athéniens* leur accorder l'indépendance et l'autonomie.

20. *A Dieu* est exprimé dans le grec.

23. *Mon père*, Antiochus III le Grand. Il avait péri en essayant de piller un temple en Elymaïde, comme

δὲ ὅτι καὶ ὁ πατὴρ, καθ' οὓς καιροὺς εἰς τοὺς ἄνω τόπους ἐστρατοπέδευσεν, ἀνέδειξε τὸν διαδεξόμενον, [24] ὅπως ἐάν τι παράδοξον ἀποβαίνῃ, ἢ καὶ προσαγγελθῇ τι δυσχερὲς, εἰδότες οἱ κατὰ τὴν χώραν ᾧ καταλέλειπται τὰ πράγματα, μὴ ἐπιταράσσωνται· [25] πρὸς δὲ τούτοις κατανοῶν τοὺς παρακειμένους δυνάστας καὶ γειτνιῶντας τῇ βασιλείᾳ τοῖς καιροῖς ἐπέχοντας προσδεχομένους τὸ ἀποβησόμενον, ἀναδέδειχα τὸν υἱόν μου Ἀντίοχον βασιλέα, ὃν πολλάκις ἀνατρέχων εἰς τὰς ἐπάνω σατραπείας τοῖς πλείστοις ὑμῶν παρακατετιθέμην καὶ συνίστων. Γέγραφα δὲ πρὸς αὐτὸν τὰ ὑπογεγραμμένα. [26] Παρακαλῶ οὖν ὑμᾶς καὶ ἀξιῶ, μεμνημένους τῶν εὐεργεσιῶν κοινῇ καὶ κατιδίαν, ἕκαστον συντηρεῖν τὴν οὖσαν εὔνοιαν εἰς ἐμὲ καὶ τὸν υἱόν μου. [27] Πέπεισμαι γὰρ αὐτὸν, ἐπιεικῶς καὶ φιλανθρώπως παρακολουθοῦντα τῇ ἐμῇ προαιρέσει, συμπεριενεχθήσεσθαι ὑμῖν.

[28] Ὁ μὲν οὖν ἀνδροφόνος καὶ βλάσφημος τὰ χείριστα παθὼν, ὡς ἑτέρους διέθηκεν, ἐπὶ ξένης ἐν τοῖς ὄρεσιν οἰκτίστῳ μόρῳ κατέστρεψε τὸν βίον. [29] Παρεκομίζετο δὲ τὸ σῶμα Φίλιππος ὁ σύντροφος αὐτοῦ· ὃς καὶ διευλαβηθεὶς τὸν υἱὸν Ἀντιόχου, πρὸς Πτολεμαῖον τὸν Φιλομήτορα εἰς Αἴγυπτον διεκομίσθη.

X. Μακκαβαῖος δὲ καὶ οἱ σὺν αὐτῷ, τοῦ κυρίου προάγοντος αὐτοὺς, τὸ μὲν ἱερὸν ἐκομίσαντο καὶ τὴν πόλιν, [2] τοὺς δὲ κατὰ τὴν ἀγορὰν βωμοὺς ὑπὸ τῶν ἀλλοφύλων δεδημιουργημένους, ἔτι δὲ τεμένη καθεῖλον. [3] Καὶ τὸν νεὼν καθαρίσαντες ἕτερον θυσιαστήριον ἐποίησαν, καὶ πυρώσαντες λίθους, καὶ πῦρ ἐκ τούτων λαβόντες, ἀνήνεγκαν θυσίαν μετὰ διετῆ χρόνον, καὶ θυμίαμα καὶ λύχνους καὶ τῶν ἄρτων τὴν πρόθεσιν ἐποιήσαντο. [4] Ταῦτα δὲ ποιήσαντες ἠξίωσαν τὸν κύριον πεσόντες ἐπὶ κοιλίαν, μηκέτι

---

23. A[1]: διαδεξάμενον. 24. A[1]: ἀποβαίη καὶ προσαπέλθῃ τι. A: (l. χώρην) χώραν. 25. A[1]: τῆς βασιλείας .. (l. προσδ.) καὶ προσδοκῶντας. A[1]* (p. υἱὸν) μου. 26. A* (p. υἱὸν) μου. 27. A[1]: (l. παρακ.) συνσταθέντα. 29. A: εὐλαβηθεὶς.

1. A: καθεῖλαν. 3. A[1]: (l. νεὼν) ναὼ. A: θυσίας.

---

27. *Il sera tout à vous.* Grec : « il s'entendra bien avec vous ».

X. 1. *La cité et le temple.* Grec : « le temple et la cité ».

2. *Les temples (des idoles).* Grec : « les enceintes sacrées » dans lesquelles était placé le naos ou chapelle du dieu.

II. Histoire (II, 20-XV). — 1° *(g)*. *Judas restaure le culte (X, 1-9).*

spíciens autem quod et pater meus, quibus tempóribus in locis superióribus ducébat exércitum, osténdit qui post se suscíperet principátum : [24] ut si quid contrárium accíderet, aut difficile nuntiarétur, sciéntes hi qui in regiónibus erant, cui esset rerum summa derelícta, non turbaréntur. [25] Ad hæc considerans de próximo poténtes quosque, et vicínos tempóribus insidiántes, et evéntum expectántes, designávi fílium meum Antíochum regem, quem sæpe recúrrens in superióra regna multis vestrum commendábam : et scripsi ad eum quæ subjécta sunt. [26] Oro ítaque vos et peto, mémores beneficiórum públice et privátim, ut unusquísque consérvet fidem ad me et ad fílium meum. [27] Confído enim eum modéste et humáne actúrum, et sequéntem propósitum meum, et commúnem vobis fore.

1 Mach. 1, 17. 2 Mach. 3, 3. 1 Mach. 3, 37.

Eis commendat filium.

1 Mach. 6, 14.

2 Mach. 2, 24.

[28] Igitur homicída et blasphémus péssime percússus, et ut ipse álios tractáverat, péregre in móntibus miserábili óbitu vita functus est. [29] Transferébat autem corpus Philíppus collactáneus ejus, qui métuens fílium Antíochi, ad Ptolemæum Philométorem in Ægýptum ábiit.

Ejus miserabilis obitus.

2 Mach. 2, 24.

X. [1] Machabæus autem, et qui cum eo erant, Dómino se protegénte, templum quidem, et civitátem recépit : [2] aras autem, quas alienígenæ per platéas extrúxerant, itémque delúbra demolítus est : [3] et purgáto templo, áliud altáre fecérunt : et de ignítis lapídibus igne concépto sacrifícia obtulérunt post biénnium, et incénsum, et lucérnas, et panes propositiónis posuérunt. [4] Quibus gestis, rogábant Dóminum prostráti

***g*) Purgatur templum**

1 Mach. 4, 36-61 ; 6, 18 ; 13, 49-56 ; 14, 36.

1 Mach. 1, 47, 58.

1 Mach. 1, 57 ; 4, 52.

2 Reg. 24, 14.

lui-même, dans les temps où il conduisait *son* armée dans les hautes provinces, désigna celui qui, après lui, devait recevoir la domination ; [24] afin que, si quelque chose s'y opposait ou qu'une nouvelle fâcheuse se répandait, ceux qui étaient dans les provinces de son royaume, sachant à qui était laissée la domination, ne se troublassent point. [25] De plus, considérant que tous les puissants les plus proches et *nos* voisins épient les temps, et attendant l'événement, j'ai désigné pour roi mon fils Antiochus, que je recommandais souvent à beaucoup d'entre vous, en retournant dans les royaumes supérieurs ; et je lui ai écrit ce qui est ci-dessous. [26] C'est pourquoi je vous prie, et je demande que, vous souvenant de *mes* bienfaits publics et particuliers, chacun garde la fidélité envers moi et envers mon fils. [27] Car j'ai confiance qu'il se conduira avec modération et humanité, et qu'il suivra mes intentions, et qu'il sera tout à vous ».

[28] Ainsi *cet* homicide et blasphémateur a été frappé d'une horrible plaie, et comme lui-même avait traité les autres, il termina sa vie dans les montagnes, à l'étranger, par une mort misérable. [29] Et Philippe, son frère de lait, transporta son corps ; et craignant le fils d'Antiochus, il s'en alla en Égypte, vers Ptolémée Philométor.

X. [1] Or, Machabée, et ceux qui étaient avec lui, le Seigneur les protégeant, reprirent la cité et le temple. [2] Mais les autels que les étrangers avaient élevés sur les places publiques, de même que les temples *des idoles*, il les démolit. [3] Et le temple ayant été purifié, ils firent un autre autel ; et avant tiré du feu des pierres ignées, ils offrirent des sacrifices deux ans après et mirent *là* l'encens et les lampes, et les pains de proposition. [4] Ce qui ayant été fait, prosternés en terre, ils demandaient au Seigneur de ne

venait de le faire Antiochus IV Épiphane à Persépolis. Voir plus haut, II, 14. — *Les hautes provinces*, les provinces d'au delà de l'Euphrate. — *Désigna celui qui devait recevoir la domination*, son fils aîné, Séleucus IV Philopator, frère d'Antiochus Épiphane. Séleucus avait succédé en effet à son père sans aucune contestation.

25. *Antiochus* V Eupator. Voir la note sur I *Machabées*, III, 32. — *Les royaumes supérieurs* sont les contrées d'au delà de l'Euphrate (v. 23).

27. *Il sera...* ; littéralement, *il vous sera commun*.

29. Voir sur ce verset, I *Machabées*, VI, 14-17.

g) **Judas restaure le culte**, X, 1-9.

X. 2. *Les autels que les étrangers avaient élevés*. Voir I *Machabées*, I, 58.

3. *Ayant tiré du feu des pierres ignées*, des cailloux, en en faisant jaillir des étincelles. Dans toute l'antiquité, lorsque le feu était éteint dans un sanctuaire on ne le renouvelait pas par un feu profane. — *Deux ans après*. Évaluation purement approximative, car d'après I *Machabées*, I, 57 comparé à I *Machabées*, IV, 52, on voit que la profanation du temple dura trois ans.

περιπεσεῖν τοιούτοις κακοῖς, ἀλλ' ἐάν ποτε καὶ ἁμάρτωσιν, ὑπ' αὐτοῦ μετ' ἐπιεικείας παιδεύεσθαι, καὶ μὴ βλασφήμοις καὶ βαρβάροις ἔθνεσι παραδίδοσθαι.

5 Ἐν ᾗ δὲ ἡμέρᾳ ὁ νεὼς ὑπὸ ἀλλοφύλων ἐβεβηλώθη, συνέβη κατὰ τὴν αὐτὴν ἡμέραν τὸν καθαρισμὸν γενέσθαι τοῦ ναοῦ, τῇ πέμπτῃ καὶ εἰκάδι τοῦ αὐτοῦ μηνὸς, ὅς ἐστι χασελεῦ. 6 Καὶ μετ' εὐφροσύνης ἦγον ἡμέρας ὀκτὼ σκηνωμάτων τρόπον, μνημονεύοντες ὡς πρὸ μικροῦ χρόνου τὴν τῶν σκηνῶν ἑορτὴν ἐν τοῖς ὄρεσι καὶ ἐν τοῖς σπηλαίοις θηρίων τρόπον ἦσαν νεμόμενοι. 7 Διὸ θύρσους καὶ κλάδους ὡραίους, ἔτι δὲ φοίνικας ἔχοντες, ὕμνους ἀνέφερον τῷ εὐοδώσαντι καθαρισθῆναι τὸν ἑαυτοῦ τόπον. 8 Ἐδογμάτισαν δὲ μετὰ κοινοῦ προστάγματος καὶ ψηφίσματος παντὶ τῷ τῶν Ἰουδαίων ἔθνει κατ' ἐνιαυτὸν ἄγειν τάσδε τὰς ἡμέρας.

9 Καὶ τὰ μὲν τῆς Ἀντιόχου τοῦ προσαγορευθέντος Ἐπιφανοῦς τελευτῆς οὕτως εἶχε.

10 Νυνὶ δὲ τὰ κατὰ τὸν Εὐπάτορα Ἀντίοχον, υἱὸν δὲ τοῦ ἀσεβοῦς γενόμενον, δηλώσομεν, αὐτὰ συντέμνοντες τὰ τῶν πολέμων κακά. 11 Αὐτὸς γὰρ παραλαβὼν βασιλείαν ἀνέδειξεν ἐπὶ τῶν πραγμάτων Λυσίαν τινὰ, κοίλης δὲ Συρίας καὶ Φοινίκης στρατηγὸν πρώταρχον.

12 Πτολεμαῖος γὰρ ὁ καλούμενος Μάκρων, τὸ δίκαιον συντηρεῖν προηγοίμενος εἰς τοὺς Ἰουδαίους διὰ τὴν γεγονυῖαν εἰς αὐτοὺς ἀδικίαν, καὶ ἐπειρᾶτο τὰ πρὸς αὐτοὺς εἰρηνικῶς διεξάγειν. 13 Ὅθεν κατηγορούμενος ὑπὸ τῶν φίλων πρὸς τὸν Εὐπάτορα, καὶ προδότης παρέκαστα ἀκούων, διὰ τὸ τὴν Κύπρον ἐμπιστευθέντα ὑπὸ τοῦ Φιλομήτορος ἐκλιπεῖν, καὶ πρὸς Ἀντίοχον τὸν Ἐπιφανῆ ἀναχωρῆσαι, μήτ' εὐγενῆ τὴν ἐξουσίαν

---

4. A[1]: παραπεσεῖν ... * παιδεύεσθαι καὶ. 5. A: (l. ὅς ἐστι) τοῦ. 7. A† (p. δὲ) καὶ ... : ἔχ. ηὐχαρίστουν τῷ εὐοδώσαντι καθαρίσαι. 8. A: (l. δὲ) τε. A[1]: (l. δὲ τὰς ἡμ.) δεκάτας ἡμ. 10. A[1]: (l. Εὐπάτ.) ὕπατον ... τὰ συνέχοντα τῶν πόλεων κακά. 11. A: (l. αὐτὸς) οὗτος. A† (a. βασ.) τὴν.

12. A: (l. εἰς) πρὸς (bis). 13. A[1]: μήτε εὐγενῆ ἐξουσίαν εὐγεννασίας (A[2]: ἐξ. ἔχων ὑπ' ἀθ.) φαρμακ.

---

10. *Eupator, fils de l'impie Antiochus.* Grec : « Antiochus Eupator, fils de l'impie Antiochus ».

11. *Prince de l'armée.* Grec : « le général qui commandait en premier ». — *De Syrie.* Grec : « de Cœlésyrie ».

12. *Le Maigre.* Grec : « le Long ».

13. Le texte grec est obscur et diversement expliqué ; il diffère en plusieurs points de la Vulgate : « à cause de cela même, il fut accusé par les amis (du roi) auprès d'Eupator et comme il s'entendait partout (appeler) traître, parce qu'il avait abandonné Chypre que Philométor lui avait confiée, et parce qu'il était passé (dans le parti) d'Antiochus Épiphane, n'ayant plus qu'un pouvoir sans honneur, il perdit courage, et prenant du poison, il s'ôta la vie ».

in terram, ne ámplius tálibus malis incíderent : sed et, si quando peccássent, ut ab ipso mítius corriperéntur, et non bárbaris ac blasphémis homínibus traderéntur.

et dedicatur.

5 Qua die autem templum ab alienígenis pollútum fúerat, cóntigit eádem die purificatiónem fíeri, vigésima quinta mensis, qui fuit Casleu. 6 Et cum lætítia diébus octo egérunt in modum tabernaculórum, recordántes quod ante módicum témporis diem solémnem tabernaculórum in móntibus et in spelúncis more bestiárum égerant. 7 Propter quod thyrsos, et ramos vírides, et palmas præferébant ei, qui prosperávit mundári locum suum. 8 Et decrevérunt commúni præcépto, et decréto, univérsæ genti Judæórum ómnibus annis ágere dies istos.

1 Mach. 4, 52, 54; 1, 57.

1 Mach. 1, 9; 4, 59.

9 Et Antíochi quidem, qui appellátus est Nóbilis, vitæ excéssus ita se hábuit.

2° a) Lysias regni administrator.

10 Nunc autem de Eupátore Antíochi ímpii fílio, quæ gesta sunt narrábimus, breviántes mala, quæ in bellis gesta sunt. 11 Hic enim suscépto regno, constítuit super negótia regni Lýsiam quemdam, Phœnícis et Sýriæ milítiæ príncipem.

1 Mach. 6, 17; 7, 4.

Ptolemæi interitus.

12 Nam Ptolemæus qui dicebátur Macer, justi tenax erga Judæos esse constítuit, et præcípue propter iniquitátem quæ facta erat in eos, et pacífice agere cum eis. 13 Sed ob hoc accusátus ab amícis apud Eupátorem, cum frequénter próditor audíret, eo quod Cyprum créditam sibi a Philométore deseruísset, et ad Antíochum Nóbilem translátus étiam

2 Mach. 8, 8; 4, 45; 6, 8.

plus tomber dans de tels maux; mais que, si un jour ils péchaient, ils fussent repris par lui avec plus de douceur, et non livrés à des hommes barbares et blasphémateurs.

5 Et il arriva qu'au jour où le temple avait été souillé par les étrangers, au même jour la purification se fit, le vingt-cinquième du mois de Casleu. 6 Et ils célébrèrent *cette fête* pendant huit jours avec allégresse comme *celle* des tabernacles, se souvenant que, peu de temps auparavant, ils avaient célébré le jour solennel des tabernacles dans les montagnes et dans les antres, comme des bêtes sauvages. 7 C'est pourquoi ils portaient des thyrses, des rameaux verts et des palmes, en l'honneur de celui qui leur avait procuré l'avantage de purifier son lieu. 8 Et ils enjoignirent, par un commandement général, et par un décret à toute la nation des Juifs, de célébrer tous les ans ces mêmes jours.

9 Quant à la fin de la vie d'Antiochus, qui fut appelé le Noble, elle fut ainsi *que nous l'avons dit.*

10 Mais maintenant nous raconterons ce qui s'est passé touchant Eupator, fils de l'impie Antiochus, en abrégeant le récit des maux qui sont arrivés pendant les guerres. 11 Ce prince, en effet, étant devenu maître du royaume, établit sur les affaires du royaume un certain Lysias, prince de l'armée de Phénicie et de Syrie.

12 Car Ptolémée, qui était appelé le Maigre, résolut de ne point se départir de la justice envers les Juifs, principalement à cause de l'iniquité qui avait été commise contre eux, et d'agir dans un esprit de paix avec eux. 13 Mais, à cause de cela, il fut accusé par ses amis, auprès d'Eupator; comme fréquemment il s'entendait *appeler* traître, parce qu'il avait abandonné Chypre, qui lui avait été donnée en garde par Philométor, et qu'après avoir passé dans le parti d'Antiochus le Noble, il s'était aussi éloigné

5. *Casleu.* Voir la note sur I *Machabées*, I, 57.

7. *Thyrses* signifie proprement des bâtons couverts de branches de lierre ou de vigne, que portaient Bacchus et les bacchantes; mais il se prend aussi quelquefois (comme ici) pour de simples rameaux de verdure. — *Son lieu*, c'est-à-dire son temple (Glaire).

9. *Le Noble.* Voir la note sur I *Machabées*, X, 1. — *Ainsi que nous l'avons dit.* Voir I *Machabées*, VI, 1-16, et II *Machabées*, I, 13-17.

2° **Règnes d'Antiochus V et de Démétrius Ier, X, 10-XV.**

a) **Défaite des Iduméens et de Timothée, X, 10-38.**

10. Antiochus V *Eupator.* Voir la note sur I *Machabées*, III, 32.

11. *Lysias.* Voir la note sur I *Machabées*, III, 32.

12. *Ptolémée.* On l'identifie communément avec Ptolémée fils de Dorymine, mais le Ptolémée gouverneur de Chypre était, d'après Athénée, fils d'Agé-

ἔχων, ὑπ' ἀθυμίας φαρμακεύσας ἑαυτὸν ἐξέλιπε τὸν βίον.

14 Γοργίας δὲ γενόμενος στρατηγὸς τῶν τόπων ἐξενοτρόφει, καὶ παρέκαστα πρὸς τοὺς Ἰουδαίους ἐπολεμοτρόφει. 15 * Ὁμοῦ δὲ τούτῳ καὶ οἱ Ἰδουμαῖοι, ἐγκρατεῖς ἐπικαίρων ὀχυρωμάτων ὄντες, ἐγύμναζον τοὺς Ἰουδαίους, καὶ τοὺς φυγαδευθέντας ἀπὸ Ἱεροσολύμων προσλαβόμενοι πολεμοτροφεῖν ἐπεχείρουν.

16 Οἱ δὲ περὶ τὸν Μακκαβαῖον ποιησάμενοι λιτανίαν, καὶ ἀξιώσαντες τὸν Θεὸν σύμμαχον αὐτοῖς γενέσθαι, ἐπὶ τὰ τῶν Ἰδουμαίων ὀχυρώματα ὥρμησαν, 17 οἷς καὶ προσβαλόντες εὐρώστως ἐγκρατεῖς ἐγένοντο τῶν τόπων, [1]πάντας τε τοὺς ἐπὶ τῷ τείχει μαχομένους ἠμύναντο[1], κατέσφαζον δὲ τοὺς ἐμπίπτοντας· ἀνεῖλον δὲ οὐχ ἧττον τῶν δισμυρίων. 18 Συμφυγόντων δὲ οὐκ ἔλαττον * τῶν ἐννακισχιλίων εἰς δύο πύργους ὀχυροὺς εὖ μάλα, καὶ πάντα τὰ πρὸς πολιορκίαν ἔχοντας, 19 ὁ Μακκαβαῖος εἰς ἐπείγοντας τόπους, ἀπολιπὼν Σίμωνα καὶ Ἰώσηφον, ἔτι δὲ καὶ Ζακχαῖον καὶ τοὺς σὺν αὐτῷ ἱκανοὺς πρὸς τὴν τούτων πολιορκίαν, αὐτὸς ἐχωρίσθη.

20 Οἱ δὲ περὶ τὸν Σίμωνα, φιλαργυρήσαντες, ὑπό τινων τῶν ἐν τοῖς πύργοις ἐπείσθησαν ἀργυρίῳ· ἑπτάκις δὲ μυριάδας δραχμὰς λαβόντες εἴασάν τινας διαρρυῆναι. 21 Προσαγγελθέντος δὲ τῷ Μακκαβαίῳ περὶ τοῦ γεγονότος, συναγαγὼν τοὺς ἡγουμένους τοῦ λαοῦ κατηγόρησεν ὡς ἀργυρίου πεπράκασι τοὺς ἀδελφούς, τοὺς πολεμίους κατ' αὐτῶν ἀπολύσαντες. 22 Τούτους μὲν οὖν προδότας γενομένους ἀπέκτεινε, καὶ παραχρῆμα τοὺς δύο πύργους κατελάβετο. 23 Τοῖς δὲ ὅπλοις τὰ πάντα ἐν ταῖς χερσὶν εὐοδούμενος, ἀπώλεσεν τοῖς δυσὶν ὀχυρώμασιν πλείους τῶν δισμυρίων.

24 Τιμόθεος δὲ, ὁ πρότερον ἡττηθεὶς ὑπὸ τῶν Ἰουδαίων, συναγαγὼν ξένας δυνάμεις παμπληθεῖς, καὶ τοὺς τῆς Ἀσίας γενομένους ἵππους συναθροίσας οὐκ ὀλίγους, παρῆν ὡς δοριάλωτον ληψόμενος τὴν Ἰουδαίαν. 25 Οἱ δὲ περὶ τὸν Μακκαβαῖον, συνεγγίζοντος αὐτοῦ, πρὸς ἱκετείαν τοῦ Θεοῦ ἐτράπησαν, γῇ τὰς κεφαλὰς καταπάσαντες,

14. A[1]: (l. Ἰουδαίους) ἰδίους. 15. A[1]: (l. τούτῳ) τούτων ... φυγαδεύσαντας. 17 A: (l. δὲ pr.) τε. 19. A: Ἰώσηπον ... * (sq.) καὶ. 20. A: μυρίας. 21. A[1]: πέπρακα τοὺς. 24. A: (l. πρότερον) πρῶτον. 25. A: ἱκεσίαν. A[1]* ἐτράπησαν.

15. Grec : « en même temps que lui, les Iduméens, s'étant emparés de bonnes forteresses avantageuses, molestaient les Juifs, et, en recevant ceux qui avaient fui de Jérusalem, ils cherchaient à entretenir les hostilités ».

17. *D'un grand nombre de lieux.* Le Grec a en plus : « ils repoussèrent tous ceux qui combattaient sur le rempart ».

18. *Quelques-uns.* Grec : « neuf mille hommes au moins ».

20. *Ceux qui étaient avec Simon.* Grec : « ceux qui étaient autour de Simon (son entourage, ses officiers) ».

23. *Et par ses armes et ses efforts.* Grec : « ses armes ayant réussi en toutes choses dans ses mains (dans tout ce qu'il avait entrepris) ».

24. *Ayant... assemblé la cavalerie d'Asie.* Grec : « ayant assemblé de nombreux chevaux d'Asie ».

ab eo recessísset, venéno vitam finívit.

Gorgias Judæos debellat.

14 Górgias autem, cum esset dux locórum, assúmptis ádvenis, frequénter Judæos debellábat. 15 Judæi vero, qui tenébant opportúnas munitiónes, fugátos ab Jerosólymis suscipiébant, et belláre tentábant. 1 Mach. 5, 2, 3, 59. 1 Mach. 4, 61 ; 5, 65.

Judas Idumæos vincit.

16 Hi vero qui erant cum Machabæo, per oratiónes Dóminum rogántes ut esset sibi adjútor, ímpetum fecérunt in munitiónes Idumæórum : 17 multáque vi insisténtes, loca obtinuérunt, occurréntes interemérunt, et omnes simul non minus vigínti míllibus trucidavérunt. 18 Quidam autem, cum confugíssent in duas turres valde munítas, omnem apparátum ad repugnándum habéntes, 19 Machabæus ad eórum expugnatiónem, relícto Simóne, et Josépho, itémque Zacháeo, eísque qui cum ipsis erant satis multis, ipse ad eas quæ ámplius perurgébant, pugnas convérsus est. 1 Mach. 5, 3-65 ; 3, 44. 2 Mach. 8, 2 ; 10, 16. 1 Mach. 5, 5. 1 Mach. 2, 3. 2 Mach. 8, 22.

Proditores fratrum Judas punit.

20 Hi vero qui cum Simóne erant, cupiditáte ducti, a quibúsdam qui in túrribus erant, suási sunt pecúnia : et septuagínta míllibus didráchmis accéptis, dimisérunt quosdam effúgere. 21 Cum autem Machabæo nuntiátum esset quod factum est, princípibus pópuli congregátis, accusávit, quod pecúnia fratres vendidíssent, adversáriis eórum dimíssis. 22 Hos ígitur proditóres factos interfécit, et confestim duas turres occupávit. 23 Armis autem ac mánibus ómnia próspere agéndo in duábus munitiónibus plus quam vigínti míllia perémit.

Invasio Timothei.

24 At Timótheus, qui prius a Judæis fúerat superátus, convocáto exército peregrínæ multitúdinis, et congregáto equitátu Asiáno advénit quasi armis Judæam captúrus. 25 Machabæus autem, et qui cum ipso erant, appropinquánte illo, depre-

Orant Judæi.

2 Mach. 10, 16. 1 Reg. 4, 12. 2 Reg. 1, 2.

de lui, il finit sa vie par le poison.

14 Or Gorgias, lorsqu'il était gouverneur de *ces* contrées, ayant pris des étrangers, faisait fréquemment la guerre aux Juifs. 15 Mais les Juifs qui occupaient des forteresses d'une situation avantageuse, recevaient ceux qui avaient été chassés de Jérusalem et tentaient des guerres.

16 Cependant ceux qui étaient avec Machabée, ayant par leurs prières conjuré le Seigneur d'être leur aide, firent irruption sur les forteresses des Iduméens ; 17 et avançant avec vigueur, ils s'emparèrent d'un grand nombre de lieux, massacrèrent ceux qui venaient à leur rencontre, et tous ensemble ne tuèrent pas moins de vingt mille *hommes*. 18 Et, comme quelques-uns s'étaient réfugiés dans deux tours très fortifiées, ayant fait tous les préparatifs pour se défendre, 19 Machabée, pour les forcer, ayant laissé Simon et Joseph, ainsi que Zachée, et ceux qui étaient avec eux en nombre suffisant, se tourna lui-même vers des combats qui étaient plus pressants.

20 Mais ceux qui étaient avec Simon, guidés par la cupidité, furent gagnés pour de l'argent par quelques-uns de ceux qui étaient dans les tours, et, ayant reçu soixante-dix mille didrachmes, ils en laissèrent échapper quelques-uns. 21 Or, lorsqu'on eut annoncé à Machabée ce qui avait été fait, les princes du peuple ayant été assemblés, il les accusa d'avoir pour de l'argent vendu leurs frères, en laissant aller leurs adversaires. 22 Il tua donc ceux qui s'étaient rendus traîtres, et aussitôt il s'empara des deux tours. 23 Et par *ses* armes et *ses* efforts, en faisant toutes choses avec succès, il tua plus de vingt mille *hommes* dans les deux forteresses.

24 Mais Timothée, qui auparavant avait été vaincu par les Juifs, ayant appelé une armée de troupes étrangères, et assemblé la cavalerie d'Asie, vint comme pour prendre la Judée par les armes. 25 Or Machabée et ceux qui étaient avec lui, tandis qu'il s'approchait, prièrent le Seigneur, répandant

---

sarque. Voir la note sur I *Machabées*, III, 38.

14. *Gorgias*. Voir la note sur I *Machabées*, III, 38.

19. *Joseph*. Voir plus haut la note sur VIII, 22. — *Zachée* est tout à fait inconnu.

20. *Didrachmes*. Voir la note sur IV, 19. Le grec a « drachmes », ce qui fait près de 61.000 francs.

24. *Timothée*, dont il a été parlé plus haut, VIII, 30. Voir la note sur I *Machabées*, V, 6.

καὶ τὰς ὀσφύας σάκκοις ζώσαντες, [26] ἐπὶ τὴν ἀπέναντι τοῦ θυσιαστηρίου κρηπίδα προσπεσόντες, ἠξίουν ἵλεων αὐτοῖς γενόμενον ἐχθρεῦσαι τοῖς ἐχθροῖς αὐτῶν, καὶ ἀντικεῖσθαι τοῖς ἀντικειμένοις, καθὼς ὁ νόμος διασαφεῖ.

[27] Γενόμενοι δὲ ἀπὸ τῆς δεήσεως, ἀναλαβόντες τὰ ὅπλα, προῆγον ἀπὸ τῆς πόλεως ἐπὶ πλεῖον· συνεγγίσαντες δὲ τοῖς πολεμίοις ἐφ' ἑαυτῶν ἦσαν. [28] Ἅρτι δὲ τῆς ἀνατολῆς διαδεχομένης προσέβαλον ἑκάτεροι· οἱ μὲν ἔγγυον ἔχοντες εὐημερίας καὶ νίκης μετ' ἀρετῆς τὴν ἐπὶ τὸν κύριον καταφυγήν, οἱ δὲ καθηγεμόνα τῶν ἀγώνων ταττόμενοι τὸν θυμόν.

[29] Γενομένης δὲ καρτερᾶς μάχης, ἐφάνησαν τοῖς ὑπεναντίοις ἐξ οὐρανοῦ ἐφ' ἵππων χρυσοχαλίνων ἄνδρες πέντε διαπρεπεῖς, καὶ ἡγούμενοι τῶν Ἰουδαίων οἱ δύο, [30] καὶ τὸν Μακκαβαῖον μέσον λαβόντες, καὶ σκεπάζοντες ταῖς ἑαυτῶν πανοπλίαις ἄτρωτον διεφύλαττον· εἰς δὲ τοὺς ὑπεναντίους τοξεύματα καὶ κεραυνοὺς ἐξερρίπτουν· διὸ συγχυθέντες ἀορασίᾳ κατεκόπτοντο ταραχῆς πεπληρωμένοι. [31] Κατεσφάγησαν δὲ δισμύριοι πρὸς τοῖς πεντακοσίοις, ἱππεῖς δὲ ἑξακόσιοι.

[32] Αὐτὸς δὲ ὁ Τιμόθεος συνέφυγεν εἰς Γάζαρα λεγόμενον ὀχύρωμα, εὖ μάλα φρούριον, στρατηγοῦντος ἐκεῖ Χαιρέου. [33] Οἱ δὲ περὶ τὸν Μακκαβαῖον ἄσμενοι περιεκάθισαν τὸ φρούριον ἡμέρας τέσσαρας. [34] Οἱ δὲ ἔνδον, τῇ ἐρυμνότητι τοῦ τόπου πεποιθότες, ὑπεραγαν ἐβλασφήμουν καὶ λόγους ἀθεμίτους προΐοντο.

[35] Ὑποφαινούσης δὲ τῆς πέμπτης ἡμέρας, εἴκοσι νεανίαι τῶν περὶ τὸν Μακκαβαῖον, πυρωθέντες τοῖς θυμοῖς διὰ τὰς βλασφημίας, προσβαλόντες τῷ τείχει, ἀῤῥενωδῶς καὶ θηριώδει θυμῷ τὸν ἐμπίπτοντα ἔκοπτον. [36] Ἕτεροι δὲ ὁμοίως προσαναβάντες ἐν τῷ περισπασμῷ πρὸς τοὺς ἔνδον, ἐνεπίμπρων

26. A[1]: ἵλεως ... † (p. καθὼς) καὶ. 28. A: διαχεομένης ... προσέβαλλον ... † (p. μὲν) οὖν. 29. A: γινομένης. 30. A: διεφύλασσον ... ἐναντίους. A[1]: ἐξεπίπτουν. A: διεκόπτοντο. 33. A: ἀσμένως. A[1]: τεσσεράκοντα. 34. A[1]: προϊέντες. 35. A: ὑποφανούσης. A[1]: (l. καὶ εἰκ.) εἴκοσι ... προβαλόντες.

29. *Et conduisant les Juifs.* Grec : « et deux conduisant les Juifs ».

30. *Deux* est rattaché dans le Grec au verset précédent ».

36. Grec : « d'autres montèrent pareillement après eux au milieu du désordre des assiégés, ils incendièrent les tours et ayant allumé des bûchers, ils y brûlèrent vifs les blasphémateurs ».

cabántur Dóminum, caput terra aspergéntes, lumbósque cilíciis præcíncti, [26] ad altáris crepídinem provolúti, ut sibi propítius, inimícis autem eórum esset inimícus, et adversáriis adversarétur, sicut lex dicit.

2 Esdr. 9, 1. 1 Mach. 11, 12; 3, 47.

Ex. 23, 22.

[27] Et ita post oratiónem, sumptis armis, lóngius de civitáte procedéntes, et próximi hóstibus effécti, resedérunt. [28] Primo autem solis ortu utríque commisérunt : isti quidem victóriæ et prosperitátis sponsórem cum virtúte Dóminum habéntes : illi autem ducem belli ánimum habébant.

Initur pugna.

1 Mach. 5, 30-34.

[29] Sed, cum véhemens pugna esset, apparuérunt adversáriis de cœlo viri quinque in equis, frenis aúreis decóri, ducátum Judæis præstántes : [30] ex quibus duo Machabæum médium habéntes, armis suis circumséptum incólumem conservábant : in adversários autem tela et fúlmina jaciébant, ex quo et cæcitáte confúsi, et repléti perturbatióne cadébant. [31] Interfécti sunt autem vigínti míllia quingénti, et équites sexcénti.

Judæis auxiliatur Deus.

2 Mach. 3, 25; 5, 2; 11, 8.

[32] Timótheus vero confúgit in Gázaram præsídium munítum, cui præerat Chæréas. [33] Machabæus autem, et qui cum eo erant lætántes obsedérunt præsídium diébus quátuor. [34] At hi qui intus erant loci firmitáte confísi, supra modum maledicébant, et sermónes nefándos jactábant.

Judas obsidet Gazaram.

1 Mach. 13, 54.

[35] Sed cum dies quinta illucésceret, vigínti júvenes ex his qui cum Machabæo erant, accénsi ánimis propter blasphémiam, viríliter accessérunt ad murum, et feróci ánimo incedéntes ascendébant : [36] sed et álii simíliter ascendéntes, turres

Civitas capta,

de la terre sur leurs têtes, ceignant leurs reins de cilices, [26] prosternés au pied de l'autel, afin que *le Seigneur* leur *fût* propice, mais qu'il fût l'ennemi de leurs ennemis, et l'adversaire de leurs adversaires, comme dit la loi.

[27] Et ainsi, après la prière, ayant pris les armes, et étant avancés très loin hors de la cité, et devenus très proches de leurs ennemis, ils s'arrêtèrent. [28] Mais au premier lever du soleil, les uns et les autres engagèrent la bataille, ceux-ci, il est vrai, ayant pour garant de la victoire et du succès, outre *leur* valeur, le Seigneur, mais les autres avaient pour chef dans la guerre *leur* courage.

[29] Mais, lorsque le combat était opiniâtre, apparurent du ciel à leurs ennemis cinq hommes sur des chevaux, éclatants par des freins d'or, et conduisant les Juifs; [30] deux d'entre ces hommes ayant Machabée au milieu *d'eux,* couvert de leurs armes, le conservaient sain et sauf; mais, sur les ennemis, ils jetaient des traits et des foudres; d'où confondus par la cécité, et remplis de trouble, ils tombaient morts. [31] Ainsi ils furent tués au nombre de vingt mille cinq cents *hommes de pied,* et six cents cavaliers.

[32] Or Timothée s'enfuit à Gazara, place forte que commandait Chéréas. [33] Mais Machabée et ceux qui étaient avec lui, se réjouissant, assiégèrent la place durant quatre jours. [34] Et ceux qui étaient dedans, se confiant à la force de la place, les maudissaient outre mesure, et proféraient des paroles impies.

[35] Mais, lorsque le cinquième jour commençait à briller, vingt jeunes hommes, de ceux qui étaient avec Machabée, enflammés de colère, à cause de ces blasphèmes, s'approchèrent vaillamment du mur, et s'avançant avec un courage intrépide, ils montaient. [36] Mais d'autres aussi, montant pareillement, commencèrent à mettre le feu

---

26. *Au pied* ou à *la base de l'autel* (*ad altaris crepidinem*); selon le grec : *à la base de l'autel du parfum*, c'est-à-dire entre l'autel des holocaustes et le vestibule du temple. C'est l'endroit où, selon le prophète Joël (II, 17), les prêtres se prosternaient pour prier dans les calamités publiques. — *Comme dit la loi* (*Exode*, XXIII, 22, 23) (Glaire).

29. *Eclatants* ou *brillants*, étant au nominatif (*decori*) dans la Vulgate, se rapporte aux *cinq hommes* (*viri quinque*); mais le grec le rapporte plus naturellement, ce semble, aux *chevaux*. Peut-être que le *decori* de la Vulgate est une simple faute de copiste, et qu'il faudrait lire *decoris* (Glaire).

32. *Gazara*, Gazer. Voir la note sur I *Machabées*, XIV, 34. D'après d'autres commentateurs, Gazara est ici pour Jazer, *Nombres*, XXXII, 35, ou désigne quelque autre ville inconnue. — *Chéréas*, frère de Timothée (v. 37).

33. *Se réjouissant;* avec entrain et courage.

τοὺς πύργους, καὶ πυρὰς ἀνάψαντες ζῶντας τοὺς βλασφήμους κατέκαιον. [37] Οἱ δὲ τὰς πύλας διέκοπτον, εἰσδεξάμενοι δὲ τὴν λοιπὴν τάξιν προκατελάβοντο τὴν πόλιν, καὶ τὸν Τιμόθεον ἀποκεκρυμμένον ἔν τινι λάκκῳ κατέσφαξαν καὶ τὸν τούτου ἀδελφὸν Χαιρέαν καὶ τὸν Ἀπολλοφάνη. [38] Ταῦτα δὲ διαπραξάμενοι, μεθ' ὕμνων καὶ ἐξομολογήσεων εὐλόγουν τῷ κυρίῳ τῷ μεγάλως εὐεργετοῦντι τὸν Ἰσραὴλ, καὶ τὸ νῖκος αὐτοῖς διδόντι.

XI. Μετ' ὀλίγον δὲ παντελῶς χρόνον Λυσίας ἐπίτροπος τοῦ βασιλέως καὶ συγγενὴς καὶ ἐπὶ τῶν πραγμάτων, λίαν βαρέως φέρων ἐπὶ τοῖς γεγονόσι, [2] συναθροίσας περὶ τὰς ὀκτὼ μυριάδας καὶ τὴν ἵππον πᾶσαν, παρεγένετο ἐπὶ τοὺς Ἰουδαίους, λογιζόμενος τὴν μὲν πόλιν Ἕλλησιν οἰκητήριον ποιήσειν, [3] τὸ δὲ ἱερὸν ἀργυρολόγητον, καθὼς τὰ λοιπὰ τῶν ἐθνῶν τεμένη, πρατὴν δὲ τὴν ἀρχιερωσύνην κατ' ἔτος ποιήσειν, [4] οὐδαμῶς ἐπιλογιζόμενος τὸ τοῦ θεοῦ κράτος, πεφρενωμένος δὲ ταῖς μυριάσι τῶν πεζῶν καὶ ταῖς χιλιάσι τῶν ἱππέων καὶ τοῖς ἐλέφασι τοῖς ὀγδοήκοντα.

[5] Εἰσελθὼν δὲ εἰς τὴν Ἰουδαίαν καὶ συνεγγίσας τῷ Βαιθσούρᾳ, ὄντι μὲν ἐρυμνῷ χωρίῳ, ἀπὸ δὲ Ἱεροσολύμων ἀπέχοντι ὡσεὶ σταδίους πέντε, τοῦτο ἔθλιβεν. [6] Ὡς δὲ μετέλαβον οἱ περὶ τὸν Μακκαβαῖον πολιορκοῦντα αὐτὸν τὰ ὀχυρώματα, μετ' ὀδυρμῶν καὶ δακρύων ἱκέτευον σὺν τοῖς ὄχλοις τὸν κύριον, ἀγαθὸν ἄγγελον ἀποστεῖλαι πρὸς σωτηρίαν τῷ Ἰσραήλ. [7] Αὐτὸς δὲ πρῶτος ὁ Μακκαβαῖος ἀναλαβὼν τὰ ὅπλα προετρέψατο τοὺς ἄλλους ἅμα αὐτῷ διακινδυνεύοντας ἐπιβοηθεῖν τοῖς ἀδελφοῖς αὐτῶν.

[8] Ὁμοῦ δὲ καὶ προθύμως ἐξώρμησαν. Αὐτόθι δὲ καὶ πρὸς τοῖς Ἱεροσολύμοις ὄντων, ἐφάνη προηγούμενος αὐτῶν ἔφιππος ἐν λευκῇ ἐσθῆτι, πανοπλίαν χρυσῆν κραδαίνων.

36. A: ἀνάπτοντες. 37. A^{2} Ἀπολλοφάνην. 38. A: ἐξομολογήσεως.

1. A^{1}: (l. χρόνον) χρόνικον. 2. A: ἅπασαν ... παρεγίνετο. 3. A: κατ' ἔτος τὴν ἀρχ. (inv. ord.). 4. A^{1}: μυριάσι τῶν πεδῶν. 5. A: Βαιθσουρῶν (l. τῷ *B.*) ... Ἱερ. δὲ (l. ἀπὸ δὲ Ἱερ.) ... σχοίνιους (l. σταδ.). 7. A: ὁ Μακκ. πρῶτος (inv. ord.). 8. A*καὶ.

37. Grec : « d'autres brisèrent les portes, et ayant fait entrer le reste de l'armée, ils prirent la ville ». — *Or, pendant deux jours de suite, la place ayant été dévastée* n'est pas dans le Grec. — *En un certain lieu.* Grec : « dans une citerne ».

XI. 1. *Gouverneur du roi.* Le Grec ἐπίτροπος signifie ministre et aussi tuteur.

8. *Apparut à Jérusalem.* Grec : « comme ils étaient encore en vue de Jérusalem, apparut... ».

portásque succéndere aggréssi sunt, atque ipsos malédicos vivos concremáre. [37] Per contínuum autem bíduum præsídio vastáto, Timótheum occultántem se in quodam repértum loco peremérunt : et fratrem illíus Chæréam et Apollóphanem occidérunt. [38] Quibus gestis, in hymnis et confessiónibus benedicébant Dóminum, qui magna fecit in Israel, et victóriam dedit illis.

occisus et Timotheus.

2 Mach. 8, 27; 9, 17; 11, 9.

XI. [1] Sed parvo post témpore, Lýsias procurátor regis, et propínquus, ac negotiórum præpósitus, gráviter ferens de his quæ accíderant, [2] congregátis octogínta míllibus, et equitátu univérso, veniébat advérsus Judæos, exístimans se civitátem quidem captam géntibus habitáculum factúrum, [3] templum vero in pecúniæ quæstum, sicut cétera delúbra géntium, habitúrum, et per síngulos annos venále sacerdótium : [4] nusquam recógitans Dei potestátem, sed mente effrenátus, in multitúdine péditum, et in míllibus équitum, et in octogínta elephántis confidébat.

b) Lysias contra Urbem consilia.

1 Mach. 3, 32; 4, 28.

1 Mach. 10, 31. 2 Mach. 4, 7, 24.

1 Mach. 6, 30-37. 2 Mach. 13, 2.

[5] Ingréssus autem Judæam, et appropíans Bethsúræ, quæ erat in angústo loco, ab Jerosólyma intervállo quinque stadiórum, illud præsídium expugnábat. [6] Ut autem Machabæus, et qui cum eo erant, cognovérunt expugnári præsídia, cum fletu et lácrymis rogábant Dóminum, et omnis turba simul, ut bonum ángelum mítteret ad salútem Israel. [7] Et ipse primus Machabæus, sumptis armis, céteros adhortátus est simul secum perículum subíre, et ferre auxílium frátribus suis.

Oppugnanti Bethsuram occurrit Judas.

1 Mach. 4, 29, 61.

Ex. 23, 20; 32, 34; 33, 2. Ps. 90, 11.

[8] Cumque páriter prompto ánimo procéderent, Jerosólymis appáruit præcédens eos eques in veste cándida, armis aúreis hastam vibrans.

Judæos adjuvat Deus.

2 Mach. 3, 23; 10, 29. Ez. 9, 2. Mat. 28, 2. Jos. 20, 12.

aux tours et aux portes, et à brûler tout vivants ces blasphémateurs. [37] Or, pendant deux jours de suite, la place ayant été dévastée, ils trouvèrent Timothée qui se cachait en un certain lieu, et le massacrèrent et ils tuèrent son frère Chéréas et Apollophanès. [38] Ce qui ayant été fait, ils bénissaient par des hymnes et des louanges le Seigneur qui avait fait de grandes choses en Israël, et leur avait donné la victoire.

XI. [1] Or, peu de temps après, Lysias, gouverneur du roi et son parent, et préposé aux affaires *du royaume,* supportant avec peine ce qui était arrivé, [2] ayant assemblé quatre-vingt mille *hommes de pied,* et toute *sa* cavalerie, il venait contre les Juifs, pensant qu'après avoir pris la cité, il en ferait une habitation pour les nations; [3] que, quant au temple, il en tirerait un profit en argent comme de tous les autres temples des nations, et qu'il vendrait tous les ans le sacerdoce; [4] ne songeant nullement à la puissance de Dieu, mais effréné en son esprit, c'était à la multitude de *ses* hommes de pied, et aux milliers de *ses* cavaliers et à *ses* quatre-vingts éléphants qu'il se confiait.

[5] Or, étant entré en Judée, et s'étant approché de Bethsura, qui était dans un lieu étroit distant de Jérusalem de cinq stades. il attaquait cette place. [6] Mais, dès que Machabée et ceux qui étaient avec lui surent que les places fortes étaient attaquées, ils conjurèrent le Seigneur avec des soupirs et des larmes, *eux* et toute la multitude avec eux, d'envoyer un bon ange pour le salut d'Israël. [7] Et Machabée lui-même, le premier, ayant pris les armes, exhorta tous les autres à s'exposer avec lui au péril, et à porter secours à leurs frères.

[8] Et comme ils s'avançaient *tous* également avec un esprit résolu, apparut à Jérusalem un cavalier marchant devant eux avec un vêtement blanc, des armes d'or, *et* agitant une lance.

---

37. *Apollophanès* est un personnage inconnu.

b) **Défaite de Lysias, XI.**

XI. 1 *Lysias.* Voir la note sur I *Machabées,* III, 32.

3. *Il en tirerait...* soit en vendant les charges et les dignités de ce temple, soit en exigeant de l'argent de ceux qui y venaient offrir des victimes.

5. *Étant entré...* Cette guerre est différente de celle qui est mentionnée I *Machabées,* VI, 28 et suiv. — *Stades,* leçon fautive; selon le *Codex Alexandrinus :* cinq *schènes.* Or le schène valait environ six kilomètres; ce qui s'accorde mieux avec Eusèbe et saint Jérôme, qui mettent en effet la ville de Bethsura à vingt milles de Jérusalem, près de 30 kilomètres.

8. *Un cavalier marchant devant eux.* Au temps des guerres des Machabées, les Juifs furent plusieurs fois favorisés de secours visibles et immédiats de Dieu. Cf. III, 23 et X, 29.

9 Ὁμοῦ δὲ πάντες εὐλόγησαν τὸν ἐλεήμονα
Θεόν, καὶ ἐπερρώσθησαν ταῖς ψυχαῖς, οὐ
μόνον ἀνθρώπους, ἀλλὰ καὶ θῆρας τοὺς
ἀγριωτάτους, καὶ σιδηρᾶ τείχη τιτρώσκειν
ὄντες ἕτοιμοι. 10 Προσῆγον ἐν διασκευῇ
τὸν ἀπ' οὐρανοῦ σύμμαχον ἔχοντες, ἐλεή-
σαντος αὐτοὺς τοῦ κυρίου.

11 Λεοντηδὸν δὲ ἐντινάξαντες εἰς τοὺς πο-
λεμίους κατέστρωσαν αὐτῶν χιλίους πρὸς
τοῖς μυρίοις, ἱππεῖς δὲ ἑξακοσίους πρὸς τοῖς
χιλίοις· 12 τοὺς δὲ πάντας ἠνάγκασαν φυγεῖν·
οἱ πλείονες δὲ αὐτῶν τραυματίαι γυμνοὶ διε-
σώθησαν· καὶ αὐτὸς δὲ ὁ Λυσίας αἰσχρῶς
φεύγων διεσώθη.

13 Οὐκ ἄνους δὲ ὑπάρχων, πρὸς ἑαυτὸν
ἀντιβάλλων τὸ γεγονὸς περὶ ἑαυτὸν ἐλάσ-
σωμα, καὶ συννοήσας ἀνικήτους εἶναι τοὺς
Ἑβραίους τοῦ πάντα δυναμένου Θεοῦ συμ-
μαχοῦντος αὐτοῖς, προσαποστείλας, 14 ἔπεισε
συλλύσεσθαι ἐπὶ πᾶσι τοῖς δικαίοις καὶ διότι
καὶ τὸν βασιλέα πείσειν φίλον αὐτοῖς ἀναγ-
κάζειν γενέσθαι.

15 Ἐπένευσε δὲ ὁ Μακκαβαῖος ἐπὶ πᾶσιν
οἷς ὁ Λυσίας παρεκάλει, τοῦ συμφέροντος
φροντίζων. Ὅσα γὰρ ὁ Μακκαβαῖος ἐπέδωκε
τῷ Λυσίᾳ διὰ γραπτῶν περὶ τῶν Ἰουδαίων,
συνεχώρησεν ὁ βασιλεύς. 16 Ἦσαν γὰρ αἱ
γεγραμμέναι τοῖς Ἰουδαίοις ἐπιστολαὶ, παρὰ
μὲν Λυσίου, περιέχουσαι τὸν τρόπον τοῦτον·
Λυσίας τῷ πλήθει τῶν Ἰουδαίων χαίρειν.
17 Ἰωάννης καὶ Ἀβεσσαλὼμ οἱ πεμφθέντες
παρ' ὑμῶν, ἐπιδύντες τὸν ὑπογεγραμμένον
χρηματισμὸν, ἠξίουν περὶ τῶν δι' αὐτοῦ
σημαινομένων. 18 Ὅσα μὲν οὖν ἔδει καὶ
τῷ βασιλεῖ προσενεχθῆναι, διεσάφησα· ἃ δὲ
ἦν ἐνδεχόμενα, συνεχώρησεν. 19 Ἐὰν μὲν
οὖν συντηρήσητε τὴν εἰς τὰ πράγματα εὔ-
νοιαν, καὶ εἰς τὸ λοιπὸν πειράσομαι παραί-
τιος ὑμῖν ἀγαθῶν γενέσθαι. 20 Ὑπὲρ δὲ
τῶν κατὰ μέρος ἐντέταλμαι τούτοις τε καὶ
τοῖς παρ' ἐμοῦ διαλεχθῆναι ὑμῖν. 21 Ἔρρω-
σθε. Ἔτους ἑκατοστοῦ τεσσαρακοστοῦ
ὀγδόου, Διοσκορινθίου εἰκοστῇ τετάρτῃ.

---

9. A: ἀνθρώπους θῆρας δὲ τοὺς. 10. A: προῆγον. 11. A¹: λεόντινον δὲ ... † (p. pr. πρὸς) τοῖς ... : φυγεῖν. 13. αὐτὸν ἐλάττωμα. A¹* (p. τοῦ) πάντα. 14. A¹: συλλύεσθαι ... πείσει. 15. A¹: (l. ὁ βασ.) ὁ γραμματεύς 16. A* (a. γεγρ.) αἱ. 19. A¹* (p. παραί.) ὑμῖν. 20. A: ὑπὲρ δὲ τούτων. 21. A: τετράδι καὶ εἰκάδι.

9 Tunc omnes simul benedixérunt misericórdem Dóminum, et convaluérunt ánimis : non solum hómines, sed et béstias ferocíssimas, et muros férreos paráti penetráre. 10 Ibant ígitur prompti, de cœlo habéntes adjutórem, et miserántem super eos Dóminum.

Victus Lysias

11 Leónum autem more ímpetu irruéntes in hostes, prostravérunt ex eis úndecim míllia péditum, et équitum mille sexcéntos : 12 univérsos autem in fugam vertérunt, plures autem ex eis vulneráti nudi evasérunt. Sed et ipse Lýsias túrpiter fúgiens evásit. 2 Mach. 11, 2-4.

se benignum futurum promittit.

13 Et quia non insensátus erat, secum ipse réputans, factam erga se diminutiónem, et intélligens invíctos esse Hebræos, omnipoténtis Dei auxílio inniténtes, misit ad eos : 14 promisítque se consensúrum ómnibus quæ justa sunt, et regem compulsúrum amícum fíeri.

Lysiæ epistola ad Judæos.

15 Annuit autem Machabæus précibus Lýsiæ, in ómnibus utilitáti cónsulens : et quæcúmque Machabæus scripsit Lýsiæ de Judæis, ea rex concéssit. 16 Nam erant scriptæ Judæis epístolæ a Lýsia quidem hunc modum continéntes : Lysias pópulo Judæórum salútem. 17 Joánnes et Abésalom, qui missi fúerant a vobis, tradéntes scripta, postulábant ut ea, quæ per illos significabántur, implérem. 18 Quæcúmque ígitur regi potuérunt perférri, expósui : et quæ res permittébat, concéssit. 19 Si ígitur in negótiis fidem conservavéritis, et deínceps bonórum vobis causa esse tentábo. 20 De céteris autem per síngula verbo mandávi et istis, et his qui a me missi sunt, cólloqui vobíscum. 21 Bene valéte. Anno centésimo quadragésimo octávo mensis Dióscori, die vigésima et quarta. 1 Mach. 2, 2.

9 Alors tous ensemble bénirent le Seigneur miséricordieux, et s'animèrent d'un grand courage, prêts, non seulement à passer au travers des hommes, mais encore au travers des bêtes les plus féroces et des murs de fer. 10 Ils allaient donc bien résolus, ayant du ciel un aide, et le Seigneur qui avait pitié d'eux.

11 Or, comme des lions se précipitant impétueusement sur les ennemis, ils en tuèrent onze mille hommes de pied, et seize cents cavaliers; 12 pour tous *les autres,* ils les mirent en fuite; mais la plupart d'entre eux échappèrent blessés et désarmés. Lysias lui-même échappa aussi, mais en fuyant honteusement.

13 Et comme il ne manquait pas de sens, considérant en lui-même la diminution qui s'était faite *de ses troupes,* et reconnaissant que les Hébreux étaient invincibles, lorsqu'ils s'appuyaient sur le secours du Dieu tout-puissant, il envoya vers eux, 14 et il promit qu'il consentirait à tout ce qui serait juste, et qu'il persuaderait au roi de devenir leur ami.

15 Or Machabée se rendit aux prières de Lysias, consultant en toutes choses l'intérêt *public;* et tout ce que Machabée écrivit à Lysias touchant les Juifs, le roi l'accorda. 16 Car il avait été écrit aux Juifs par Lysias des lettres contenant ce qui suit : « Lysias au peuple des Juifs, salut. 17 Jean et Abesalom, qui avaient été envoyés par vous pour remettre *vos* écrits, demandaient que ce qui était exprimé par eux, je l'accomplisse. 18 Ainsi tout ce qui a pu être rapporté au roi, je l'ai exposé; ce que l'état des choses permettait, il l'a accordé. 19 Si donc dans les traités vous gardez la foi, je m'efforcerai désormais de vous être utile. 20 Pour toutes les autres choses, j'ai commandé de vive voix et à ceux-ci, et à ceux qui ont été envoyés par moi, de conférer de chacune en particulier. 21 Portez-vous bien. En l'année cent quarante-huitième, au mois de Dioscorus, le vingt-quatrième jour ».

14. *Il persuaderait au roi de devenir leur ami.* Le roi Antiochus V Eupator n'étant qu'un enfant, Lysias pouvait lui faire faire tout ce qu'il voulait.

16, 22, 27, 34. *Salut* (*salutem*). Voir la note sur I *Machabées*, x, 18.

17. *Écrits* (*scripta*), c'est-à-dire lettres.

20. *Ceux-ci;* ceux qui sont ici présents, vos envoyés.

21, 33, 38. *L'année cent quarante-huitième* du règne des Grecs, la cent soixante-troisième avant Jésus-Christ. — *Dioscorus* ou *Dioscore*, mois inconnu parmi les Grecs; le texte grec lit Διοσκορινθίου, c'est-à-dire *de Jupiter de Corinthe*, qui n'est pas plus connu; de là les diverses opinions des savants sur ce sujet. Le troisième mois crétois s'appelait Dioscure.

22 Ἡ δὲ τοῦ βασιλέως ἐπιστολὴ περιεῖχεν οὕτως· Βασιλεὺς Ἀντίοχος τῷ ἀδελφῷ Λυσίᾳ χαίρειν. 23 Τοῦ πατρὸς ἡμῶν εἰς θεοὺς μεταστάντος, βουλόμενοι τοὺς ἐκ τῆς βασιλείας ἀταράχους ὄντας γενέσθαι πρὸς τὴν τῶν ἰδίων ἐπιμέλειαν, 24 ἀκηκοότες τοὺς Ἰουδαίους μὴ συνευδοκοῦντας τῇ τοῦ πατρὸς ἐπὶ τὰ ἑλληνικὰ μεταθέσει, ἀλλὰ τὴν ἑαυτῶν ἀγωγὴν αἱρετίζοντας, καὶ διὰ τοῦτο ἀξιοῦντας συγχωρηθῆναι αὐτοῖς τὰ νόμιμα αὐτῶν· 25 αἱρούμενοι οὖν καὶ τοῦτο τὸ ἔθνος ἐκτὸς ταραχῆς εἶναι κρίνομεν τό, τε ἱερὸν αὐτοῖς ἀποκατασταθῆναι, καὶ πολιτεύεσθαι κατὰ τὰ ἐπὶ τῶν προγόνων αὐτῶν ἔθη. 26 Εὖ οὖν ποιήσεις διαπεμψάμενος πρὸς αὐτοὺς καὶ δοὺς δεξιάς, ὅπως εἰδότες τὴν ἡμετέραν προαίρεσιν εὔθυμοί τε ὦσι καὶ ἡδέως διαγίνωνται πρὸς τὴν τῶν ἰδίων ἀντίληψιν.

27 Πρὸς δὲ τὸ ἔθνος ἡ τοῦ βασιλέως ἐπιστολὴ τοιαύτη ἦν· Βασιλεὺς Ἀντίοχος τῇ γερουσίᾳ τῶν Ἰουδαίων καὶ τοῖς ἄλλοις Ἰουδαίοις χαίρειν. 28 Εἰ ἔῤῥωσθε, εἴη ἂν ὡς βουλόμεθα· καὶ αὐτοὶ δὲ ὑγιαίνομεν. 29 Ἐνεφάνισεν ἡμῖν ὁ Μενέλαος βούλεσθαι κατελθόντας ὑμᾶς γίνεσθαι πρὸς τοῖς ἰδίοις. 30 Τοῖς οὖν καταπορευομένοις μέχρι τριακάδος Ξανθικοῦ ὑπάρξει δεξιὰ μετὰ τῆς ἀδείας, 31 χρῆσθαι τοὺς Ἰουδαίους τοῖς ἑαυτῶν δαπανήμασι καὶ νόμοις καθὰ καὶ τὸ πρότερον, καὶ οὐδεὶς αὐτῶν κατ' οὐδένα τρόπον παρενοχληθήσεται περὶ τῶν ἠγνοημένων. 32 Πέπομφα δὲ καὶ τὸν Μενέλαον παρακαλέσοντα ὑμᾶς. 33 Ἔῤῥωσθε. Ἔτους ἑκατοστοῦ τεσσαρακοστοῦ ὀγδόου, Ξανθικοῦ πέμπτῃ καὶ δεκάτῃ.

